ᾇ σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ᾽ ἁλίου
πτέρυγι θοᾷ
λατρεύων τὸ κατ᾽ ἦμαρ.
ὦ Παιὰν ὦ Παιάν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
καλόν γε τὸν πόνον, ὦ antistr.
Φοῖβε, σοὶ πρὸ δόμων λατρεύω
τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ᾽ ὁ πόνος μοι
θεοῖσιν δούλαν χέρ᾽ ἔχειν,
οὐ θνατοῖς, ἀλλ᾽ ἀθανάτοις·
εὐφάμους δὲ πόνους μοχθεῖν
οὐκ ἀποκάμνω.
Φοῖβός μοι γενέτωρ πατήρ·
τὸν βόσκοντα γὰρ εὐλογῶ,
τὸν δ᾽ ὠφέλιμον ἐμοὶ πατέρος
ὄνομα λέγω
Φοῖβον τὸν κατὰ ναόν.
ὦ Παιὰν ὦ Παιάν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
ἀλλ᾽ ἐκπαύσω γὰρ μόχθους
δάφνας ὁλκοῖς,
χρυσέων δ᾽ ἐκ τευχέων ῥίψω
γαίας παγάν,
ἃν ἀποχεύονται
Κασταλίας δῖναι,
νοτερὸν ὕδωρ βάλλων,
ὅσιος ἀπ᾽ εὐνᾶς ὤν.
εἴθ᾽ οὕτως αἰεὶ Φοίβῳ

122. ἁλίου] Hermannus, ἡελίου libri. 123. θοᾷ] Hermannus, θοῇ libri. 130. τὴν μαντεῖον B μαντεῖον C 134. εὐφάμους — πόνους] Porsonus, εὐφάμοις δὲ πόνοις B εὐφάμοις πόνοις C 140. Φοῖβον τόν] Heathius, φοίβου τοῦ libri. 151. αἰεί B ἀρεί C